ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

1743

# ΠΟΝΗΜΑΤΙΟΝ
## ΠΕΡΙ
# ΟΡΘΟΓΡΑΦΙΑΣ

Ὅπερ ἐκ τῶν τοῦ

## ΘΕΟΔΩΡΟΥ ΤΟΥ ΓΑΖΗ,

παρὰ τοῦ σοφωτάτου

## ΓΟΡΔΙΟΥ

χάριν τῶν Φιλομαθῶν συνήχθη μού ποτε.

Νῦν δὲ τύποις ἐξεδόθη,

τῇ σπουδῇ τε καὶ δαπάνῃ τοῦ σοφολογιωτάτου

ΚΥΡΙΟΥ ΙΩΑΝΝΟΥ,

τοῦ ἐκ Φαρνῶν τῶν Ἀγράφων.

Ἐπιστασίᾳ καὶ διορθώσει τοῦ Ἰατροφιλοσόφου

Κυρίου

ΘΩΜΑ ΜΑΝΔΑΚΑΣΗ.

GAZ Ag
ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ
ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ ΑΡ. 2270 ΒΙΒΛΙΟΘΗΚΗ ΣΙΔΕΡΙΔΟΥ
ΚΑΙ ΤΟΥΔΕ Κ... ΞΕΝΟΦΩΝ Α. ΣΙΔΕΡΙΔΗΣ ΕΝ ΚΩΝ/ΠΟΛΕΙ

Ἐν Λειψίᾳ, ἔτει 1777.
παρὰ τῷ Τυπογράφῳ Βρεϊτκόπφ.

Ξενοφῶν Αθ. Σιδηρόπουλος

1871

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Τοῖς

ἐκλαμπροτάτοις ἐμοῖς μαθηταῖς, καὶ υἱοῖς
τοῦ ὑψηλοτάτου, καὶ θεοσεβεστάτου ἡγεμόνος
καὶ Πρίγκιπος Μολδαυίας

ΚΥΡΙΟΥ, ΚΥΡΙΟΥ

ΓΡΗΓΟΡΙΟΥ ΑΛΕΞΑΝΔΡΟΥ ΓΚΙΚΑ

ΒΟΕΒΟΔΑ,

ΔΗΜΗΤΡΙΩΙ ΤΕ, ΚΑΙ ΑΛΕΞΑΝΔΡΩΙ.

Πολλαὶ μὲν πατρὶ προσπεφώνηνται βίβλοι,
Ἀνδράσι σοφοῖς, καὶ μαθήσει γνωρίμοις,
Ἄνδρας κοσμοῦσαι ἡλικίαν τελείους.
Ὑμῖν δὲ μικρὸν, καὶ πρὸς παῖδας οἰκεῖον,
Ἀνδρὸς πόνημα προσφωνεῖται τῶν πάνυ
Ἀρετῇ δήπου, καὶ σοφίᾳ γνωρίμων.
Ἃ γὰρ ὁ Θεόδωρος ἐν πεζῷ λόγῳ
Ὀρθογραφίας ἡμῖν ἐξέδω πέρι,
Εἰς μέτρου μετέβαλεν εὐφυῶς εἶδος.



ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ὅπως ὑπάρχῃ, ἀνὴρ ἢ σοφὸς λέγει,
Παίδευμα, καὶ γλύκασμα τοῖς νέοις
ἅμα.
Ῥέῃ τ' ἀλύπως δι' ἀκοῆς τῇ μνήμῃ.
Ὡς οὖν ἀπαρχὴν τὴν προσφώνησιν
τούτου,
Ἀρχήν τε καλήν, τῶν καλῶν τῆς
ἐλπίδος,
Φιλοφρόνως δέξασθε, καρποῦσθε χρῆ-
σιν,
Ἐπεντρυφῶντες τῇ συχνῇ ἀνα-
γνώσει.
Ὡς ἂν γένοιντο τὰ γραφέντα συνή-
θη,
Μνήμης ἀνεξάλειπτα καὶ νοὸς ἕξις
Φίλοι μαθηταί, καὶ υἱοὶ ἡγεμόνος.

Τῆς ὑμῶν ἐκλαμπρότητος

ἸΩΑΝΝΗΣ
ὁ ἐκ Φουρνῶν τῶν Ἀγράφων.
͵αψοζʹ.

ΕΠΙ-

# ΕΠΙΣΤΟΛΗ

τοῦ αὐτοῦ

## ΑΝΑΣΤΑΣΙΟΥ ΓΟΡΔΙΟΥ.

Τῷ

Φιλομαθεστάτῳ, καὶ σπουδαιοτάτῳ

## ΚΥΡΙῼ ΝΙΚΟΛΑῼ.

εὖ Πράττειν.

Γραμματικῶν ἀπορημάτων λύσιν αἰτεῖ σου ἡ μετὰ ἀγχινοίας Φιλομάθεια παρ' ἐμοῦ. ταῦτα δὲ τοιαῦτα εἰσί. Τὰ σύνθετα τῶν ὀνομάτων, δυνάμεθα εἰπεῖν ἐξ ὧν συντίθεται παράγεσθαι, καὶ τῷ εἴδει τῶν παραγώγων ταῦτα ὑποτιθέναι, ὡς τὸ Φιλάνθρωπος, καὶ μεγαλόψυχος; καὶ τοῦτο μὲν πρῶτον. Παραγωγῆς δὲ πάλιν δεύτερον, καὶ ἐτυμολογίας ἐστί τις διαφορὰ, ἢ ἀνθ' ἑνὸς λαμβάνονται, καὶ ὁποία ἐστιν ἡ τούτων διάκρισις. καὶ τρίτον ἔτι. ῥήματα δὲ ἐξ ὀνομά-



ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

των γινόμενα, ὡς τὸ, χρυσῶ, καὶ ἀργυρῶ, καὶ ἄλλα, δυνατόν ἐστιν εἰπεῖν ταῦτα παράγωγα τῶν ὀνομάτων; Ἐπεὶ δὲ πρὸς τὰς προτεινομένας ἀπορίας, καὶ τὰς λύσεις παρὰ πόδας δεῖν γίνεσθαι τοῖς περὶ πᾶν εἶδος καταγινομένοις ἔθος, λάβε τὰς ὁπωσδή ποτ᾽ ἐχέσας ταύτας καὶ παρ᾽ ἐμοῦ, τοῦ τὰ τοιαῦτα πολλῶν ἐξ ἐτῶν, ὡς οἱ ναυτικοὶ τὰ πηδάλια χειμῶνος ὑπὲρ καπνοῦ θέντος, καὶ ἑτέροις τοῖς πρὸς σωτηρίαν μᾶλλον ψυχῆς ἀναφερομένοις σπουδάζοντος, τῇ συνήθει μέντοι, ᾗ ἀεὶ χρῶμαι βραχυλογίᾳ. Τὶ οὖν τὸ κωλύον τὰ σύνθετα, τῷ εἴδει τῶν παραγώγων ὑποτιθέναι; οὐδέν. Πᾶν γὰρ παράγωγον, ἢ ἁπλοῦν ἐστιν, ἢ σύνθετον, ἢ παρασύνθετον, καὶ οὐχ ὡς δοκεῖ Βησσαρίωνι, ἑτέρως, οὐχ ὡς ὁ Λάσκαρις τὸ σύνθετον παραδειγματίζοντι. συνθέσεως γάρ, καὶ παραγωγῆς πολὺ τὸ διάφορον. καὶ οὐ δύναταί τις εἰπεῖν, εἴτι σύνθετον καὶ παράγωγον· ἢ καὶ ἀνάπαλιν, εἴτι παράγωγον, καὶ σύνθετον. οὐχ ὅτι τὸ σύνθετον οὐ γίνεται παράγωγον, οὐδ᾽ ὅτι οὐδὲ τὸ παράγωγον σύνθετον, ὡς παντίπου δῆλον τῷ σκεπτομένῳ καλῶς. Ἔστι δὲ καὶ ἐτυμολογίας διαφορὰ, καὶ παραγωγῆς. ἄλλο γάρ ἐστι παραγωγὴ, καὶ παράγωγον, καὶ ἄλλο ἐτυμολογία. ὅτι ἡ μὲν παραγωγὴ κατὰ τὴν ἀρχὴν μό-

νον θεωρεῖται τῆς λέξεως. ἡ δ᾽ ἐτυμολογία, καὶ κατὰ τὴν ἀρχὴν, καὶ κατὰ τέλος. σημείωσαι δὲ καὶ τοῦτο, ὅτι ἀπὸ δύο λέξεων ἐν συνθέσει οὐσῶν γίνονται παραγωγαί. οἷον, Ἱεράπολις, Ἱεραπολίτης, ἄρειος πάγος, ἀρειοπαγίτης. νεάπολις, νεαπολίτης. οὐδέ ποτε δὲ ἐν παραθέσει οὐσῶν γίνεται παραγωγή. δυνάμεθα δὲ καὶ ὀνόματα ἐκ ῥημάτων παράγωγα εἰπεῖν, καὶ ῥήματα ἐξ ὀνομάτων. ἡ δὲ τούτων διάκρισις, ἔκ τε τῆς κατὰ φύσιν αὐτῶν συνθέσεώς τε καὶ τάξεως, καὶ ἐκ τῆς τῶν συλλαβῶν ποσότητος γίνεσθαι δύναται· καὶ γὰρ, εἰ καί τινα τούτων Ἰσοσυλλαβεῖ, τὰ παράγωγα δηλαδὴ, τοῖς ἐξ ὧν παράγεται, ἀλλ᾽ οὖν ὡς ἐπὶ τὸ πλεῖστον, τὰ μὲν πολυσυλλαβεῖ, τὰ δ᾽ ὀλιγοσυλλαβεῖ, καὶ οὕτως ἡ διάκρισις τούτων γίνεται, περιττοσυλλαβέντων τῶν παραγώγων. σὺ δέ μοι, ὦ Φιλότης, ἐπεὶ σὺν θεῷ γραμματικῆς ἱκανῆς ἐπέβης τέχνης, καὶ θεωρίας, εὖξαι, ἵνα σοι καὶ τῶν λοιπῶν τεχνῶν, καὶ ἐπιστημῶν ὁ χορὸς ἐπακολουθήσῃ. συνδεδεμέναι γὰρ ἀλλήλαις αἱ μοῦσαι εἰσι χορεύουσαι περὶ τὸν νοῦν. καὶ χαῖρε, ὅτι οὐ μακρὰν τὰς οἰκήσεις ποιῇ, τοῖς Ὀζόλαις Λοκροῖς συμβιοτεύων, καὶ συνδιαιτώμενος, τῶν τῶν μουσῶν, καὶ θεῶν οἰκητηρίων ὀρῶν, ὡς ποιηταὶ μυθολογοῦντες,

καὶ ἀλληγορῦντες ᾄδουσιν. οὐ γὰρ πόῤῥω πάνυ τῶν αὐτόθεν καὶ Παρνασσὸς, τὸ Τερνασσὸς χυδαϊκῶς λεγόμενον, καὶ Πιερίαι, καὶ Κιθαιρών. εἰ δὲ καὶ περὶ τοῦ χρηστηρίου Πυθικοῦ τοῦ Ἀπόλλωνος εἴποις, τοῦ τῆς τῶν μουσῶν χορείας ἐξάρχοντος, καὶ μουσηγέτου καλουμένου, αὐτόθι καὶ Δελφοὶ, καὶ Πυθία, ἐν ᾗ τὰ Πύθια τὸ πάλαι ἐγίνετο, τὸ νῦν καλούμενον χωρίον Χρυσός. ἔντεινε τοίνυν, καὶ κατευοδοῦ φιλολογῶν συνεχῶς, καὶ φίλας τὰς μούσας τῇ σῇ σπουδῇ, καὶ ἐπιμελείᾳ ποιούμενος· μὴ μέν τοι καὶ θεοπνεύστοις λόγοις παρέργως, καὶ ἐν δευτέρῳ λόγῳ προσομιλεῖν. τοῦτο δὲ μᾶλλον καὶ τοῦ ἀναπνεῖν αἱρεῖσθαι, καὶ ἔργων τῶν πρὸς σωτηρίαν ψυχῆς ἀναφερομένων, οὐδαμῶς ἀπέχεσθαι, καὶ ἀμελῶς ἔχειν, ἀλλ᾽ ἀπρὶξ τούτων ἀντέχεσθαι. Ταῦτα τῶν δεόντων μακρότερα, καὶ ἔῤῥωσο πάντων ἐπιτυγχάνων, σὺν θεῷ ὁδηγῷ, τῶν καλῶς ποθουμένων σοι.

Βρανιανόθεν. αψκδ΄.
Ποσιδεῶνος η΄. φθίνοντος.

ὁ ἐν Ἱερομονάχοις ἀμόναχος,
Ἀναστάσιος Γόρδιος.

Πόνημα

## ΑΝΑΣΤΑΣΙΟΥ ΤΟΥ ΓΟΡΔΙΟΥ

τοῦ ἐκ βρανιανῶν τῶν ἀγράφων.

# ΠΕΡΙ ΟΡΘΟΓΡΑΦΙΑΣ,

ἐκ τῶν τοῦ

## ΘΕΟΔΩΡΟΥ ΤΟΥ ΓΑΖΗ.

Ὀρθογραφίας, μαθητὰ, πέρι τῶν ὀνομάτων
Μαθεῖν, εἰ φίλον ἦτορ σοι τὰ νῦν ἱμείρε ταύπως,
Τούσδε τοὺς στίχους συνετῶς ἀνάγνωθι συχνάκις,
Καὶ μάθοις τίνα τῷ μικρῷ, τίνα τῷ ω μεγάλῳ
Καὶ τίν᾽ αὖθις τῷ ε ψιλῷ, καὶ τίν᾽ αὐτῷ τῷ, ἦτα.
Τίνα δ᾽ ὡσαύτως γράφεται τῷ Υ ψιλῷ, καὶ τίνα,
Τῷ γε ἰῶτα, καὶ αὐταῖς τρισὶ ταῖς καλουμέναις
Διφθόγγοις α, Ἰῶτά τε, Ει ῶτα, καὶ Οι ῶτα.

## Περὶ τῶν Ι.

Δεῖ δέ σ᾽ ἐκ πάντων προμαθεῖν, ὅτι τὰ Ι τυγχάνει
Πάντε, μὴ διαφέροντα, τῷ ἐκ τῆς γλώττης φθόγγῳ.
Προσέτι προειδέναι σε καὶ τοῦτο χρὴ εὖ μάλα,
Ὅτι τὰ μὲν ἰθύνονται τῇ παραδόσει μόνῃ
Τῶν παλαιῶν γραμματικῶν, καὶ ποιητορρητόρων·

Τὰ δὲ μᾶλλον, καὶ μάλιϛα τῇ ἐτυμολογίᾳ,
Πρὸς ἄπερσοι καὶ προσφυὲς παράδειγμα προθήσω.
Τὴν λέξιν ταύτην ἤπειρος, τὴν τρισυλλαβεμένην,
Ἧς τινος τὸ Ο τὸ μικρὸν τῇ παραδόσει κεῖται.
Τὸ δ' ἦτα, καὶ ἡ δίφθογγος ἐξ ἐτυμολογίας.
Γίνεται γὰρ τὸ ἤπειρος ἀπὸ τοῦ α, καὶ πέρας,
Ἄπερος οἷον ἔσα τις, ϛερητικῷ τῷ ἄλφα.
Καὶ τὸ μὲν ἄλφα τρέπεται εἰς ἦτα τροπῆς τρόπῳ,
Τὸ δ' Ε ψιλὸν προσλήψεως ἰῶτα προσλαμβάνει.

## Περὶ τῆς τῶν ὀνομάτων συνθέσεως.

Ἀλλὰ καὶ τοῦτο προλαβεῖν τῶν ἀναγκαίων ἔϛι.
Τὸ ποσαχῶς ἡ σύνθεσις γίνεται τούτων πάντων.
Ἔϛι δὲ πᾶσα τετραχῶς, καὶ μάθε καλῶς ταύτην.
Ἀλλὰ καὶ πρὶν διαλαβεῖν συνθέσεώς γε πέρι,
Ταυτὶ παραντιθέναι δεῖ, ὅτι ἐν τρισὶ ταύταις
Ταῖς συλλαβαῖς, ἀεὶ ζητεῖν δέον ὀρθογραφίαν.
Ληγέσῃ, ἔν γε μέσῃ τε, καὶ ἀρκτικῇ προσέτι,
Ἑκάϛης λέξεως καλῶς ὁποίας δήποτ' ἔσης.
Τὸ δὲ τὴν σύνθεσιν μαθεῖν, πρὸς τὸ τὴν μέσην μᾶλλον
Ὀρθογραφεῖν συμβάλλεται, καὶ τρεῖς ἰδέμοι τρόπους.
Πρῶτος μὲν, ὅς τις ἐκ δυοῖν γίνεται συνελθόντων
Τελείων, ὡς χειρίσοφος, καὶ ὅσ' ἄλλα τοιαῦτα.
Δεύτερος, ὅς τις ἐκ δυοῖν αὖθις ἀπολειπόντων.
Οἷον ἐϛι τὸ σοφοκλῆς, καὶ τὰ τοιαῦθ' ὡσαύτως.
Τρίτος δ' ἐξ ἀπολείποντος γίνεται, καὶ τελείου.
Ὡς ἔχει τὸ Φιλόδημος σὺν τοῖς παραπλησίοις
Ὁ δέ γε τέταρτος αὐτὸς, καὶ τελευταῖος πάλιν
Τοῦ τρίτου τὸ ἀνάπαλιν ἔχει περικλῆς οἷον.

Περὶ

## Περὶ τῆς τῶν Φωνηέντων τροπῆς.

Γίνεται δὲ καὶ ἡ τροπὴ τῶν Φωνηέντων ἔτι,
Τέσσαρσι τρόποις, οὓς καὶ νῦν πρὸ ὀφθαλμῶν σοι θήσω.
Ἢ γὰρ βραχέος εἰς βραχὺ Φωνῆεν τρεπομένου.
Ὡς ἔχει τὸ μενόλαος, καὶ τὸ μενέλαός γε.
Ἢ καὶ μακροῦ εἴς γε μακρὸν, ὥσπερ τὸ πυθαγόρας
Ὁ Πυθαγόρης λέγεται, τῷ δε τροπῆς τῷ τρόπῳ.
Ἢ καὶ βραχέος εἰς μακρὸν, οἷον τὸ ἔρως ἥρως
Ἢ καὶ μακροῦ εἴς γε βραχὺ, λεὼς, λαὸς καθάπερ.

Ὅσαπερ ἔδει προλαβεῖν κἂν ταῦθα προλαβόντες,
Καὶ ταῦτα τοῖς ὠσὶ τοῖς σοῖς, ὡς ἔδει προσνθέντες,
Ἤδη προσεπιβάλωμεν τῇ τοῦ σκοποῦ βαλβίδι·
Καὶ περὶ μὲν τῶν τελικῶν αὐτῶν τε καὶ τῶν μέσων,
Αὐτίκα νῦν ἀρξώμεθα γράψαντε, καὶ διδάξαι.
Τῶν δ' ἀρκτικῶν ἢν γε θεὸς διδῷ τοῖς μετὰ ταῦτα
Ἐναποταμιεύσωμεν· ἀλλ' ἴσχυε Χρισέμου.

## Περὶ τῶν τελικῶν ὅσα τῷ Η.

Τὰ λήγοντα ὀνόματα τοῦ θηλυκοῦ τοῦ γένους
Εἰς Ι, τῷ, ἦτα γράφεται, ὡς ἀρετὴ, καὶ ἄλλα.
Ὡσαύτως δὲ καὶ τὰ εἰς ης, τῶν ἰσοσυλλαβούντων
Ἀρσενικά τε, καὶ κοινὰ, οἷον λῃστὴς, καὶ χρύσης.
Καὶ τὰ τῷ, Εος, ἢ τῷ, Τ. κλινόμενα ὁμοίως
Τῷ ἦτα γράφεται ἀεὶ, ὡς δημοσθένης, λάχης.
Πρὸς τούτοις ἔτι τὰ εἰς ηρ, οἷον πατὴρ, ἀνήρ τε.
Πλὴν τοῦ εἰνάτειρ, καὶ τοῦ φθεὶρ, χεὶρ τε, καὶ εἴρ, καὶ σάπφειρ.
Ἔτι τὰ λήγοντα εἰς ην, μὴ δικαταληκτοῦντα
Τούτοις ὁμοίως γράφεται τῷ, ἦτα, ἀλλ' οὐ πάντα.

Γράφε-

Γράφεται γὰρ τῷ υ, ψιλῷ, τὸ, μόσυν, κ, τὸ, φόρκυν.
Καὶ ὅσα τούτοις ὅμοια φεύγοντα τὸν κανόνα.
Τὰ δὲ διττὴν κατάληξιν ἔχοντα τῷ, ἰῶτα.
Γράφεται, ὡς δελφὶν, δελφὶς, ἀκτὶν, ἀκτὶς, κ, τἄλλα.
Καὶ τὰ εἰς ηξ, ἃ Δωριςὶ αξ, μύρμηξ τε, καὶ Νάρδηξ.
Τῷ, ἦτα γράφεται ἀεὶ, καὶ μήσε λανθανέτω.
Ἔτι τὰ ἐκ τοῦ ῥήματος τοῦ πλήττω συντεθέντα.
Οἷον, βουπλὴξ, καὶ φρενοπλὴξ, καὶ οἰνοπλὴξ ὁμοίως.
Τῷ δὲ ἰῶτα γράφεται, ὡς ἔφθημεν εἰπόντες,
Πάντα τὰ δικατάληκτα, καὶ τὰ εἰς υ προσέτι
Τῶν οὐδετέρων ἄςυ πλὴν, καὶ γόνυ, πῶυ, δόρυ.
Καὶ τῶν ἐκ τῶν ἀρσενικῶν, τῷ υ ληγόντων. οἷον,
Ἡδὺ, ταχὺ, ὀξὺ, ἀμβλὺ, βραδὺ, καὶ τὰ τοιαῦτα.
Τὰ δὲ εἰς ις κλινόμενα τῷ, δέλτα, ἢ τῷ θῆτα.
Ὡς πάρις, ὄρνις, γράφεται μάλιςα τῷ, ἰῶτα.
Εἰ δέ που τὸ ντ ἐςιν, ἐκ τῶν τοιούτων ἄττα,
Κλινόμενα τὸ γράφεσθαι διφθόγγῳ τῇ Ει ὦτα,
Περὶ πολλοῦ ποιούμενα φαίνεται, ὡς χαρίεις.
Οὗ τινος καὶ ἀνάλογον ὑπάρχει τὸ αἰγλήεις.
Τινὰ δὲ καταλήγεται τούτων δυσὶ συμφώνοις.
Τῷ ν, καὶ σ, δηλαδὴ, ὥσπερ ἐςὶ τὸ Ἕλμινς.
Εἰς θος ἀεὶ κλινόμενον, καὶ χαῖρον τῷ, ἰῶτα
Γράφεσθαι πάντων μάλιςα τῶν ἄλλων ὀνομάτων.

## Ὅσα τῷ υ.

Τῷ υ ψιλῷ δὲ τὰ εἰς υ, ὅσαπερ ἀνωτέρω,
Τῶν οὐδετέρων εἴρηται, καὶ ὅσα τριττοῦ γένους
Γράφεται, ὧν τ' ἀρσενικὸν, οὐχ ὁμοφώνως ἔχει
Τῷ θηλυκῷ, οἷον, ἡδὺς, ἡδεῖα, ἡδὺ πάντως.

Τούτῳ

Τούτῳ προσέτι καίτινα τῶν μονοσυλλαβούντων,
Γράφεται, οἷον μῦς, καὶ δρῦς, σῦς τε καὶ τὰ τοιαῦτα.
Ἔτι τὰ γένους θηλυκοῦ, εἰς υς τῶν ὀξυτόνων
Τῷ υ ψιλῷ, ὡς τὸ χλαμὺς γράφεται καὶ τὰ ἄλλα.
Δίχα τῶν πατρωνυμικῶν, ὑποκοριστικῶν τε.
Ὡς πριαμίς τε, καὶ νησὶς, ἰῶτα γραφομένων.
Καὶ ἔτι τὰ εἰς σύμφωνα διττά. Οἷον τὸ τίρυνς.
Καὐτὸ τὸ στάχυς, πέλεκυς, ἔγχελυς, πῆχυς, βότρυς.
Τούτῳ προσέτι τὰ εἰς υξ τῶν μονοσυλλαβούντων
Στὺξ οἷον, φρύξ τε, πλὴν τοῦ πρόιξ, διφθόγγῳ γραφομένου.
Τὰ δ' ὑπὲρ μίαν συλλαβὴν, ὡς ἄντυξ τε, καὶ δοῖδυξ,
Ὁμοίως τούτῳ γράφεται, πλὴν φοῖνιξ, αὔλιξ, τέττιξ.

## Ὅσα τῇ αι.

Τῇ δ' αι τὰ εἰς αις, μονογενῆ μὴ ὄντα.
Καὶ αὖθις οὐδὲ τριγενῆ, οἷον δαὶς, σταίς τε, παῖς τε.
Καὶ τὰ εἰς αιξ, ὡς γυναιξ, αἴξ, πλὴν τῶν ἀπὸ τοῦ τέκω,
Τοῦ ῥήματος γινόμενα, καλλίτεξ, καὶ ἐπίτεξ.

## Ὅσα τῷ ο.

Λήγειδ' ἀεὶ εἰς ο μικρὸν τὰ τῶν τεταρτοκλίτων
Ἅπαντα, οἷον ὅσιος, ὅσιον, σὺν τοῖς ἄλλοις.

## Ὅσα τῷ ω.

Τῷ δὲ μεγάλῳ γράφεται, τῷ ω, καὶ λήγει, ταῦτα,
Ὅσα εἰς ων, οἷά ἐστι τὸ λέων, ἀηδῶντε,
Ἀρσενικοῦ, καὶ θηλυκοῦ, καὶ οὐδετέρου γένους.
Οἷον ἐστι τὸ εὔγεων τὸ ἀττικόν. πρὸς τούτοις

Καὶ

Καὶ Νέϛωρ, ὕδωρ τὰ εἰς ωρ, τύτοις ὁμοίως ἔτι.
Πλὴν ἄορ, ἦτορ γράφεται τῷ ω μεγάλῳ πάντως.
Καὶ τὰ εἰς ως, καὶ τὰ εἰς ω τῶν τριτοπεμπ]οκλίτων.
Μονέλεως, ἥρως, αἰδὼς, λητὼ, καὶ τὰ τοιαῦτα.
Καὶ ὕτω τὴν τῶν τελικῶν ὀρθογραφίαν ζήτει.
Κανόσι χρώμενος αὐτοῖς ἤδη τοῖς ἐκτεθεῖσι.
Ὑμεῖς δὲ καὶ περὶ αὐτῆς, τῆς ἐν τοῖς μέσοις ὕσης
Νιῦ ἔλθωμεν διαλαβεῖν, καὶ ταύτην σε διδάξαι.

## Περὶ τῆς τῶν μέσων ὀρθογραφίας.

### Ὅσα τῷ ε.

Ὀξύτονα ὀνόματα, καὶ λήγοντα εἰς εος.
Εἰ εὕροις χρῶ τῷ ε ψιλῷ, ἐν συλλαβῇ τῇ μέσῃ,
Καὶ τύτων σοι παράδειγμα τὸ θυρεὸς προκείσθω,
Πλὴν ἀχαιὸς, καὶ παλαιὸς, κραταιὸς, ἀραιός τε.
Καὶ τὰ εἰς εος θετικὰ, δοτέος, ἐλπιϛέος,
Πλὴν τῦ ὠνκταιός σοι, ἀεὶ τῷ ε ψιλῷ γραφέσθω.
Ἀπὸ τῦ γέα σιώθετα, ποιὸν σημαίνοντά πως
Γῆς, εἴπυ εὕροις ἴθιμοι καὶ ταῦθ᾽ ὁμοίως γράφειν.
Τῷ ε ψιλῷ, καὶ μηδαμῦ πώποτε σαυτὸν λαθῃς.
Ἔϛω δὲ παραδείγματος καί τινα τύτων χάριν,
Βαθύγεων, λιπρόγεων, ἐκ τῶν ἀτ]ικοκλίτων.
Ἔτι τε τὰ εἰς ελεος, τῷ ε ψιλῷ γραφέσθω.
Καὶ τὰ εἰς εννος ἅπαντα, πλὴν τῶν ἀπὸ τῦ αἶνος.
Καὶ τὰ εἰς εμον μάλιϛα, πλὴν τῶν ἀπὸ τῦ αἷμων.
Τὰ δὲ δισυμφωνύμενα μετὰ τὸ ε τὸ μέσον.
Καὶ τὰ ὀξυτονύμενα, ὅσα εἰς ερος λήγει.
Πάντα σχεδὸν τῷ ε ψιλῷ γράφεται, ὡς καθέδρα,
Καὶ πενθερὸς, καὶ ἱερὸς, πλὴν τῦ θαιρὸς, καιρός τε.

Καὶ

Καὶ τὰ εἰς ερα μάλιστα τῶν θηλυκῶν πρὸς τούτοις
Τῷ ε ψιλῷ γραφέσθω σοι, πλὴν αὖρα τε, καὶ σφαῖρα.
Ἔτι τε καὶ ἰσχέαιρα, μάκαιρα, χίμαιρά τε,
Καὶ μάχαιρα, καὶ Νέαιρα τῶν προπαροξυτόνων.
Εἰ δὲ εἰς ετης εὕροις που τινὰ τῶν ὀνομάτων,
Ἀρσενικοῦ, καὶ θηλυκοῦ γένους, καὶ τούτων γράφε,
Τὴν μέσην ε ψιλῷ ἀεὶ, ὡς ἔχει τὸ εὐχέτης,
Ἱκέτης, δημαινέτη τε, μελέτη, πλὴν τοῦ χαίτη.
Καὶ ὅλως ἐξαιρούμενα εἰσὶ τὰ ἐκ τοῦ αἴτης,
Ὡς διφθογγογραφούμενα πάντα τῇ αι.
Καὶ τὰ ὀξυτονούμενα, καὶ λήγοντα εἰς ετος,
Ὀρθογραφίαν τὴν αὐτὴν τοῖς προῤῥηθεῖσιν ἔχει,
Τῶν μέσων, οἷον Νιφετὸς, καὶ παγετὸς σὺν ἄλλοις.
Ἀναλογίαν ἔχουσι τούτοις προσφυεστάτην.
Πρὸς δέ γε τούτοις γράφεσθαι τῷ ε ψιλῷ τὴν μέσην
Ἐθέλει καὶ τὰ ἐκ τοῦ αρχος πάντα συντεθειμένα.
Ἀρχέγονος, ἀρχέδημος οἷον, καὶ τὰ τοιαῦτα.
Καὶ ἔτι τὰ ἐκ τῶν εἰς ος, καὶ ον ληγόντων ὅλως
Ἀλλ' ἄκουε καὶ τῶν ἑξῆς, ἔτι ῥηθησομένων.

## Ὅσα τῇ αι διφθόγγῳ.

Εἰς αιτερος τὰ λήγοντα, καὶ αιτατος ὁμοίως
Τὴν ἀπὸ τέλους συλλαβὴν δίφθογγον τρίτην ἔχει,
Ἰσαίτερος, ἰσαίτατος, πλὴν τῶν ἐκ πρωτοτύπων
Ἑξῆς γε ἀντωνυμιῶν σφέτερος, καὶ σφετέρα,
Ἐξαιρουμένου σὺν αὐτοῖς καὶ ἕτερος, ἑτέρα.
Καὶ τὰ εἰς αινα θηλυκὰ πρὸς τούτοις τῇ διφθόγγῳ
Ἀλφαϊῶτα συλλαβὴν τὴν μέσην ὀρθῶς ἔχει
Ὡς λέαινα, καὶ μύραινα, καὶ ἔτι τὰ εἰς αινις
Ὀξύ-

Ὀξύτονα τυγχάνοντα, ὡς τὸ μαινὶς, καὶ ἄλλα.
Καὶ ἔτι μεσοσυλλαβεῖ τῇ αι ὡσαύτως πάντα
Τὰ ἀπὸ θηλυκῶν τινων εἰς ἄλφα, ἢ εἰς ἦτα
Ληγόντων παραγόμενα, καὶ λήγοντα εἰς αιος.
Ὧν ἔσω παραδείγματα τὸ γάζα, καὶ γαζαῖος.
Γοῦνα γουναῖος ἔτι πρὸς, καὶ ῥώμη, καὶ ῥωμαῖος.
Μάλιστα διφθογγίζεσθαι χαίρει τῇ ἄλφαι ὦτα
Καὶ τὰ εἰς αιον λήγοντα τοῦ οὐδετέρου γένους.
Ὡς σπήλαιον, καὶ βέβαιον, πλὴν τῶν συναιρουμένων
Εἰς οὖν ὡς τὸ κυάνεον, καὶ χρύσεον ὁμοίως.
Εἰ δέ που καὶ μονογενῆ, καὶ ἀσυναίρετά πως
Ὀνόματα τοῦ θηλυκοῦ γένους εὑρεῖν τυγχάνοι
Εἰς αια τὸν σχηματισμὸν ἔχοντα τῇ διφθόγγῳ
Τῇ αι χρῶ ἀεὶ, ὡς γαῖα, νεολαία.

## Ὅσα τῷ η.

Τὰ δὲ εἰς ηγος λήγοντα, εἰς ηλος τε, καὶ ηρος
Τὴν μέσην ἅπαντ᾽ ἔχουσι τῷ η γραφομένην.
Ὡς χορηγὸς, καὶ ὑψηλὸς, καὶ ἀνθηρὸς προσέτι.
Πλὴν τοῦ νεογιλὸς αὐτοῦ ι γραφομένου,
Καὶ ἁλμυρὸς, καὶ ἰσχυρὸς, καὶ βδελυρὸς πρὸς τούτοις.
Τῷ υ χαιρόντων τε, καὶ μεσογραφουμένων.
Καὶ τὰ εἰς ηδων σαρπηδὼν οἷον, καὶ ἀηδών τε.
Τῷ η μεσογράφεται, πλὴν τῶν ἐξαιρουμένων,
Ὡς χελιδὼν, καὶ μυρμιδὼν, ι γραφομένων.
Τὰ δὲ εἰς ηνος ἅπαντα τοῦ οὐδετέρου γένους,
Καὶ ηθος, οἷον σμῆνός τε, καὶ ἦθος ἀλλ᾽ ἔστηθος.
Καὶ τὰ εἰς ηνος ἐθνικὰ τῶν ὀξυτόνων ὄντα.
Καὶ τὸ ὅπερ τὰ σημαντικὰ τῷ, ἦτα γράφε πάντα.

Οἷον

Οἷόν γε τὸ κυζικηνὸς ἐστιν ἀγαρηνός τε.
Τῶν δύω τούτων ἐξ αὐτῶν μόνων ἐξαιρουμένων.
Τοῦ γε μελιτινὸς ὁμοῦ, καὶ ἀδράμυ τινός γε
Ὡς τοῦ ἰῶτα μάλιστα τούτοις φιλοχωροῦντος.
Πρὸς τούτοις δὲ γραφήσθωσοι τῷ ἦτα δύω ταῦτα,
Τὸ πικηνὸς, καὶ γαλληνὸς ἄνευ τῶν εἰρημένων.
Τούτοις καταλεγέσθωσοι καὶ τὰ εἰς ητρα πάντα.
Τῷ ἦτα ὡς γραφόμενα οἷον ὀρτυγομήτρα.
Καὶ τὰ εἰς ηθρα_ τοῖς αὐτοῖς τούτοις, οἷον οὐρήθρα,
Ὄντα καὶ ἄμφω θηλυκοῦ γένους τῶν ὀνομάτων.
Ἔτι τῷ Η γράφεται καὶ τὰ εἰς ηρης πάντα,
Οἷον ξιφήρης, πλήρης τε, πλὴν ὄσιρις, καὶ ἶρις.
Καὶ τὰ εἰς ηριον αὐτὰ τοῦ οὐδετέρου γένους,
Ποτήριον, τεκμήριον οἷον τῷ Η γράφου.
Χαίρει καὶ τὰ εἰς ηκοντα τῷ η γράφεσθαί πως
Ἐξ ἀριθμῶν λαμβάνοντα τὸ σχῆμα παρωνύμως
Πεντήκοντα, ἑξήκοντα, καὶ τὰ ἑξῆς ὡσαύτως.
Τὰ δέ γε μὴν ῥηματικὰ τῶν σχηματιζομένων,
Ἐκ μόνου τοῦ παθητικοῦ παρακειμένου χρόνου,
Τὸ παραλῆγον ἕκαστον φαίνεται πάντως ἔχειν
Τῆς ἑαυτοῦ ἀρχῆς ἀεὶ, γέγραμμαι γραμμὴ οἷον,
Εἴλημμαι λῆμμα, λέλυσαι λύσις, λέλεξαι λέξις.
Καὶ ἀπὸ τοῦ πεποίηται τὸ ποιητὸν ὁμοίως
Ὡς κἀπὸ τοῦ ἠλέξηται, ἀλεξητήριόν πως.

## Ὅσα τῷ Ι.

Ἴδωμεν τοίνυν ἐφεξῆς καὶ τίνα τῷ, Ἰῶτα
Τῶν ὀνομάτων ἔχουσι τὴν μέσην γραφομένην.
Ἐπεί περ τὰ γραφόμενα τῷ Η μέχρι τοῦδε,

Περιελάβομέν τισιν, ὡς οἷόν τε κανόσι.
Καί σοι παραδεδώκαμεν τέτες ἐν μνήμῃ φέρειν.
Ἀνεπιλήςῳ, μαθητῇ ὀρθογραφεῖν ποθᾶντι
Ὀξύτονα ὀνόματα, ὅσα περ εὑρεῖν τύχῃς
Καὶ ἔτι παροξύτονα τᾶ θηλυκᾶ τᾶ γένες
Εἰς ια, γράφειν ἴσθι μοι ταῦτα ἀεὶ Ι.
Οἷον καρδία, ςρατία, κοιλία, λαλιάτε,
Πλὴν παρειὰ, καὶ φορβειὰ, ὑγεία, σιτοδεία.
Ταῦτα γὰρ γράφονται ἀεὶ διφθόγγῳ τῇ Ει
Τὸ δ' ὀργυιὰ τῷ Υ ψιλῷ, ὄντι προσγεγραμμένῳ
Σιὼ ᾧ ἐξαιρετέα σοι τῶν ὀνομάτων ὅσα
Ἐκ τῶν εἰς εύω γίνεται ῥημάτων ὡς πρεσβεία.
Καὶ ἔτι γένες τᾶ αὐτᾶ, ὅσα εἰσιν εἰς ιας
Ὄντα καὶ ταῦτ' ὀξύ τονα, ὡς μυριὰς καὶ ἄλλα.
Τοῖς προῤῥηθεῖσι γράφεται, ὁμοίως τῷ Ι
Πλὴν πελειὰς, καὶ γενειάς. ταῦτα γὰρ τῇ Ει
Τῶν δ' ὀξυτόνων ὅσα περ, καὶ προπαροξυτόνων
Εἰς ιος ὄντ' ἀρσενικᾶ γένες, καὶ ταῦτα πάντα
Ὀρθῶς Ι γράφεται μάλα καλῶς, ὡς ταῦτα,
Ἀσκληπιὸς, καὶ ἄξιος, καὶ τὰ τοιαῦτα πάντα.
Καὶ τὰ εἰς ιον ἅπαντα τῶν ὑπερδισυλλάβων
Βαρύτονα τυγχάνοντα γράφεται τῷ Ι
Ὡς ἔχει τὸ γραμμάτιον, κιβώτιον, βιβλίον.
Ἐξαιρεμένων κτητικῶν, σιὼ περιεκτικοῖς τε,
Καὶ τῶν μετεσιαςικῶν Ει. γραφομένων
Καὶ τὰ εἰς ιος τῷ αὐτῷ τέτῳ ςιχεῖ κανόνι.
Πλὴν ἀφνειὸς, καὶ κολοιὸς, διφθόγγοις γραφομένων
Τᾶ μὲν Ει, ἀφνειὸς, τᾶ δὲ τῇ Οι
Καὶ ἐπηὸς, καὶ αἰζηὸς γραφόμενα τῷ η
Πάθει γὰρ ἔτω γίνεται κράσεως λεγομένῳ.

Προσέτι

Προσέτι ἐξαιρείσθωσαν καὶ τὰ ἐκ κλινομένων
Εἰς εος, ἐν τῇ γενικῇ πρώτης συνῃρημένων
Ὡς ἔχει τὸ Ἡράκλειος, ἀπὸ τοῦ Ἡρακλέος,
Καὶ τὸ Ἀριστοφάνειος, γραφόμενα Ει ὦτα
Καὶ δίκτυον, καὶ σίκυον, τῷ Υ ψιλῷ πρὸς τούτοις.
Καὶ πλοῖον διφθογγούμενον διφθόγγῳ τῇ Οι ὦτα
Καὶ ὅσα τῶν συγκριτικῶν, εἰς ιων, ὡς βελτίων
Ὄντα καὶ ταῦτα μάλιστα τῶν ὑπερδισυλλάβων,
Τῇ τοῦ Ι χαίρουσι γραφῇ πλὴν τοῦ ἀρείων
Συνάμα διφθογγούμενον Ει τὸ χερείων
Καὶ τῶν ὑποκοριστικῶν τινὰ ἐκ τῶν εἰς Ἄλφα.
Ὡς μοῖρα, καὶ μοιρίδιον, γραφόμενα Ἰῶτα
Καὶ τούτοις ἔτι πρός εἰσιν ἅττ᾽ ἀπὸ τῶν εἰς Ἦτα
Ὡς κλίνη, καὶ κλινίδιον, ὁμοίως τῷ, Ἰῶτα
Καὶ ἀπὸ τῶν εἰς ος εἰσι ληγόντων ὀνομάτων
Νῆσος οἷον, νησίδιον, πλὴν γήδιον τῷ, Ἦτα
Γραφόμενον, ὡς ἐκ τοῦ γῆ γινόμενον εἰκότως.
Καὶ τὰ εἰς ιδης ἅπαντα τῶν πατρωνομικῶν τε,
Ὡς πριαμίδης ἔστω σοι, καὶ Πηλείδης ἔτι
Παράδειγμα. καὶ ἴσθιμοι, ὅτι καὶ ταῦτα τούτοις
Δεόντως ἠκολούθησε γραφόμενα Ἰῶτα
Θυγατριδοῦς, ἀδελφιδοῦς, καὶ ὅσ᾽ ἄλλα τοιαῦτα.
Καὶ τὰ εἰς κος, ὅσα εἰσι τῶν κτητικῶν ὁμοίως
Τούτοις Ι γράφεται, πλὴν τινων τῇ Ει ὦτα
Ὡς δαρεικὸς, δεκελεικὸς, καὶ ἔτι δύο τούτων
Ὡς θηλυκὸν, καὶ λιβυκὸν Υ ψιλῷ γραφομένων.
Καὶ τὰ εἰς ιλος ἅπαντα ἐκ τῶν παροξυτόνων
Οἷον ποικίλος γράφεται Ι, καὶ ναυτίλος.
Προσέτι καὶ τὰ εἰς ιλευς, ὡς Ἀχιλλεὺς, καὶ ἄλλα,
Πλὴν τοῦ νηλεὰ, καὶ τοῦ πηλεὺς τῷ Η γραφομένων.

Καὶ τὰ εἰς ιμος ὅσαπερ τῶν προπαροξυτόνων
Ἰῶτα γράφεται ἀεὶ, πλὴν ἔρημος τῷ, Ἦτα
Καὶ ἔτι ὅσα σύγκειται τούτων ἀπὸ τοῦ σχῆμα
Καὶ δῆμος, Φήμη μάλιστα, καὶ ὅσ᾽ ἀπὸ τοῦ σῆμα·
Καθάπερ τὸ πολύσχημος, καὶ πάνδημος ὁμοίως,
Πολύφημος, πολύσημος τῷ Η γραφομένων.
Καὶ ἔτι πλὴν τοῦ δίδυμος, καὶ σκόλυμος πρὸς τούτοις,
Καὶ ἔτυμος τῷ Υ ψιλῷ. καὶ τῶν ὀξυνομένων
Συνθέτων, ὡς ὁμώνυμος, Φερώνυμος, καὶ ἄλλων·
Τὸ δ᾽ ἕτοιμος ἀεί ποτε γράφεται τῇ Οι ῶτα.
Εἰς ινος δ᾽ ὅσ᾽ ὀξύτονα καιροῦ, καὶ ὥρας ὄντα
Σημαντικὰ, ὡς θερινὸς γράφεται τῷ Ἰῶτα.
Ἡμερινὸς, νυκτερινὸς, χειμερινὸς, καὶ τἆλλα·
Πρὸς τούτοις καὶ τὸ ῥαδινὸς, Φυζακινὸς, ὁμοίως.
Καὶ ἔτι τὰ βαρύτονα ταῦτα σπῖνος, ἐχῖνος.
Ἀκραγαντῖνος, ξύλινος, ἄνευ τῶν παρωνύμων
Ὧν ἡ Ει δίφθογγος μᾶλλον ἐστιν οἰκεία.
Ὡς ἔχει τὸ ἐλεεινὸς, καὶ Φωτεινὸς, σὺν ἄλλοις.
Εἰς ινη δ᾽ ὅσαπερ ἐστι τῶν σχηματιζομένων
Ἐκ τῶν εἰς ος, ἢ τῶν εἰς ης, γράφεται τῷ Ι ῶτα
Ὡς ἀδρασίνη, ἄδρασος, ὅτι περ ἦν τὸ πρῶτον.
Τὰ δ᾽ ἔχοντα ἀρσενικὰ τούτοις ἀκολουθοῦσι,
Οἷον τὸ δίνη γράφεται Ἰῶτα, ὅτι δῖνος.
Τῇ δ᾽ οι γράφεται τὸ οἴνη, ὅτι οἶνος.
Ὅσα δ᾽ εἰσὶ ῥηματικὰ, οἵαν γραφὴν τὸ ῥῆμα
Ἔχει, καὶ ταῦτα ἔχουσιν, ὡς κλίνη. ὅτι κλίνω.
Καὶ ὅτι κρίνω κρίσις τε, καὶ θίξις, ὅτι θίγω.
Ἐπεὶ δὲ γράφεται ἀεὶ τὸ κλίνω τῷ, Ἰῶτα,
Γράφεται πάντως τῷ αὐτῷ καὶ τοὔνομα τὸ κλίνη.
Τῷ δ᾽ Υ ψιλῷ γραφόμενον εὕρηται τὸ εὐθυμὴ

Τούτῳ

Τούτῳ γὰρ γράφεται ἀεὶ, καὶ τὸ εὐθύνω ῥῆμα.
Τἄλλα δὲ πάντα γράφεται, τῷ Η, ὡς εἰρήνη.
Τὸ δὲ κορύνη Υ ψιλῷ καθὰ καὶ τὸ ὀδύνη.
Τὰ δὲ εἰς ςος τε, καὶ εἰς θος τῶν ὑπερδισυλλάβων
Ἁπλᾶτε, καὶ ὀξύτονα, βαρύτονά τε ὄντα,
Πάντα Ι γράφεται, ὡς ἔχει τὰ τοιαῦτα.
Τὸ οἰςὸς, καὶ βέλτιςος, καὶ ὄλισθος, πρὸς τούτοις.
Πλὴν μόνων τῶν παθητικῶν. ταῦτα γὰρ τοῦ ἰδίου
Ῥήματος τὸ ἀντίςιχον ἁπανταχοῦ φυλάττει.
Ἰῶτα γράφεται ἀεὶ, καὶ τὰ εἰς ιτης ἔτι,
Ὡς τὸ πολίτης ὄνομα, πλὴν τῶν ἐξαιρουμένων,
Οἷον τῶν ἀπὸ τῶν εἰς ω περισπωμένων ὄντων.
Καὶ τῶν ἀπὸ τῶν θηλυκῶν, τῇ Η κλινομένων,
Ἢ καὶ ληγόντων ὡς εἰπεῖν μᾶλλον ἀδιαφόρως.
Ἔτι δὲ τῶν ἐκ τῶν εἰς ος ἀρσενικῶν ὡσαύτως,
Καὶ θηλυκῶν, καὶ μάλιςα, πλὴν τῶν ἀπὸ τοῦ ῥέω.
Τούτων δὲ παραδείγματα ἑνὸς ἑκάςου λάβοις
Τὰ ὧδ᾽ ὑπογραφόμενα, σὺν εὐκρινείᾳ πάντα.
Ἀπὸ τοῦ κυβερνῶ μὲν γὰρ ἐςὶ τὸ κυβερνήτης.
Περισπωμένου ῥήματος, ὡς ἔφθημεν εἰπόντες.
Καὶ Η γράφεται ἀεὶ, ὡς καὶ τὸ σφενδονήτης.
Ἐκ τοῦ σφενδόνη. θηλυκοῦ γινόμενον τῷ Η.
Λήγοντος ὥσπερ εἴρηται καὶ τοῦτο ἀνωτέρω.
Ἐξαιρουμένων ἐξ αὐτῶν τῶν δύο τούτων αὖθις
Τεχνίτης, ὅπερ ἐξ αὐτοῦ τοῦ τέχνη γίνεταί πως
Καὶ φυλακίτης, ἐξ αὐτοῦ τοῦ, φυλακὴ προσέτι.
Τὰ δ᾽ ἀπὸ τῶν ἀρσενικῶν αὐτῶν εἰς ος ληγόντων
Ἐν λόγῳ παραδείγματος ἔχε μοι τὸ ὀρείτης.
Ὅπερ ἀπὸ τοῦ ὄρεος τῆς γενικῆς τοῦ ὄρος
Γίνεται, ὄρος ὡς εἰπεῖν, ὄρεος, καὶ ὀρείτης.

Κἀντεῦθεν μοι σημείωσαι καὶ τὸ ἁγιορείτης.
Τὸ δ' ἐκ τȣ̃ ῥέω ῥήματος ἐςὶ τὸ βαθυῤῥείτης.
Παραπλησίαν τὴν γραφὴν ἔχον τῷ προῤῥηθέντι.
Ὁδοίτης δ' ἀπὸ τȣ̃ ὁδὸς, γράφεται τῇ Οι
Καὶ τὸ ὁροίτης ἐξ αὐτȣ̃ γινόμενον τȣ̃, ὅρος
Ὁμοιοτρόπως βȣ́λεται γράφεσθαι τῇ διφθόγγῳ.
Τȣ́τοις προσεξαιρείσθωσαν καὶ τὰ ἐκ τῶν εἰς εια
Ὄντα καὶ παροξύτονα, οἷον τὸ Σαμαρείτης,
Ὅπερ ἐκ τȣ̃ Σαμάρεια γίνεται γραφομένȣ.
Διφθόγγῳ τῇ ἀπὸ τȣ̃ ε, καὶ τῇ ι ȣ̓́σῃ
Συντεθειμένῃ μάλιςα τῶν ἄλλων ὀνομάτων
Ἐκ τȣ́των τοιγαρȣ̃ν ἐςιν ἡμῖν εἰπεῖν καθόλȣ
Ὡς τὰ εἰς ιτης ἅπαντα τῶν παραγώγων ὄντα
Τὸν τῆς ἰδίας ἔχȣσιν ἀρχῆς γραφὴν ὥ δέ πως.
Αἴγίνη Αἰγινήτης τε, πρέσβυς τε καὶ πρεσβύτης.
Καὶ ἔτι κεκυβέρνηται, ἀφ' ȣ̃ τὸ κυβερνήτης.
Πρὸς δ' ἔτι τȣ́τοις τέθυται, ἀφ' ȣ̃ γίνεται θύτης.
Τοιȣ̃τόν τι κἀκ τȣ̃ ὁδὸς ἐςὶ καὶ τὸ ὁδοίτης,
Καὶ ἐκ τȣ̃ ὅρος ὡς αὐτὸ ὑπάρχει τὸ ὁροίτης.
Καὶ τὰ εἰς ιτης τῷ αὐτῷ κανόνι ὑποπίπτει
Εἴ τε ὀξύτονα εἰσὶν, εἴ τε βαρύτον' αὖθις.
Προτίεται γὰρ προσιτὸς, ἀμφότερα Ι ῶτα
Γραφόμενα εὑρίσκεται, καὶ ἔτι ἀφροδίτη.
Ἐξ ȣ̃ τὸ ἐπαφρόδιτος γραφόμενον Ι ῶτα
Καὶ ἔτι τὸ ἠρίθμηται ἀριθμητὸς τῷ Ἦτα
Καὶ ἔτι τὸ ἐςύγηται, καὶ ςυγητὸς ὁμοίως
Κέκλειται δὲ κλειτὸς ἀεὶ διφθόγγῳ τῇ Ει ῶτα
Ἔτι καὶ τὰ παράγωγα εἰς ιεις, ὡς χαρίεις
Τιμήεις τε, Αἰγλήεις τε, ὧν τȣ̃ μὲν ἀρχὴ αἴγλη,
Τȣ̃ δὲ τιμὴ, τȣ̃ δὲ αὐτὴ ἡ χάρις ἐςὶ πάντως.

Πρόσθες προσέτι τὰ εἰς μος τῶν ὀξυτονȣμένων
Ὡς ὑπαγόμενα καλῶς τῷ δ᾽ ὑπὸ τῷ κανόνι
Λογίζομαι γὰρ γράφεται, καὶ λογισμὸς Ἰῶτα
Καὶ ἔτι προπηλακισμὸς, ἐκ τȣ῀ προπηλακίζω.
Δανείζω δ᾽ ἔτι δανεισμὸς διφθόγγῳ τῇ ει.
Καὶ κέχρησμαι χρησμὸς ἀεὶ γραφόμενον τῷ η
Ἰῶτα γράφεται ἀεὶ ὅσα γε ἐκ τȣ῀ αρι
Ἢ ερι σιωύθετά εἰσι, καθάπερ τὰ τοιαῦτα
Ἀρίγνωστος, ἐρίδοξος, σιωὺ τοῖς παραπλησίοις.
Καὶ ἔτι τὰ συγκείμενα ἐκ τῶν εἰς ω ῥημάτων,
Οἰδῶ οἰδίπȣς ἅπαντα γράφεται τῷ Ι ῶτα
Καὶ τὸ τȣ῀ ὕψος Ο μικρὸν τρέπεται εἰς Ι ῶτα
Ὡς ὕψιστος, ὑψίκερως, ἄλλοις σιωτεθειμένȣ.
Τȣ῀το δὲ γίνεται ἀεὶ συμφώνȣ ἑπομένȣ,
Καὶ μετ᾽ αὐτȣ῀ τȣ῀ Ο μικρȣ῀ πάντως σιωτεθειμένȣ.
Καὶ ἔτι τὰ ἐκ τȣ῀ ἁλὸς πρὸς τȣ῀τοις τῷ Ι ῶτα
Γράφεται, ὡς ἁλίπλοον, καὶ ὅσ᾽ ἄλλα τοιαῦτα.
Καὶ ἔτι τὰ ἐκ τȣ῀ ἀγχȣ῀, ἀγχίνοια καθάπερ,
Καὶ ἀγχιστεὺ, ἀγχίθυρος γράφεται τῷ Ι ῶτα.
Καὶ ἔτι τὰ ἐκ τȣ῀ καλὸν, ὡς ἔχει τὸ καλλίπλȣν.
Καὶ ἔτι τὰ ἐκ τῶν εἰς ος, εἰς ιτης, ὡς ζευγίτης.
Οὗ ἰωὖ τὸ ζεῦγος πρότερον, καὶ θρᾶνος, καὶ θρανίτης.
Καὶ ἔτι τὰ ἐκ τȣ῀ ἀρχὸς, ἀρχίδαμος καθάπερ.
Τῶν ἐκ τȣ῀ ἄγω ῥήματος μόνων ἐξαιρȣμένων
Καθόλȣ γάρ τοι γράφεται τῷ Η ταῦτα πάντα.
Ὡς στρατηγὸς, καὶ ὁδηγὸς, καὶ κιωηγὸς, καὶ τἆλλα.
Τοιγάρ τοι σύνεσιν ἁπλῶς ἡμῖν εἰπεῖν καὶ τȣ῀το,
Ὧν ἡ ἀρχὴ ἐκ τῶν εἰς ος ληγόντων ὀνομάτων
Ὑπάρχει σχηματιστικὴ, ταῦτα τροπῆς τῷ τρόπῳ
Εἰς τὸ Ι τρέποντα τὸ Ο μικρὸν ἐν τȣ῀τῳ

Κάλλιστα ὀρθογράφεται, ὥσπερ τὰ εἰρημένα.
Τὰ δὲ ἀμφιβαλλόμενα ἐν συλλαβῇ τῇ πρώτῃ,
Ἐν τῇ δευτέρᾳ δ' ἔχοντα Υ ψιλὸν, ἢ Ι ὦτα
Ἶρις καθάπερ, ἴσις τε, δριμὺς, βριθὺς, καὶ πίτυς
Τὴν πρώτην ἔχουσιν αὐτῶν τὰ πλεῖστα τῷ Ι ὦτα
Ἀλλ' ᾠδε, καὶ περὶ αὐτῆς τῆς τοῦ Ἰῶτα μέσης,
Ὀρθογραφίας μαθητὰ ταῦθ' ἅλις νῦν ἐχέτω.
Ἡμεῖς δὲ καὶ τὰ ἐφεξῆς ἔτι τῶν ὑπολοίπων
Ἐπιμελῶς ἐκθήσωμεν, ἀρχόμενοι ἐντεῦθεν.

## Ὅσα τῷ Ει διφθόγγῳ.

Διφθόγγῳ δὲ γραφέσθωσαι, βέλτιστε, τῇ Ει.
Ταῦθ' ὅσα σχηματίζεται εἰς ειος ἐκ τοῦ γέα
Οἷόν ἐστι τὸ πρόσγειος, ἐπίγειος, καὶ τἄλλα
Καὶ ὅσαπερ ἐκ τοῦ ἀεὶ συγκείμενα τυγχάνει,
Ὡς ἔχει τὸ ἀείζωος, ἀείμνηστος, καὶ ἄλλα.
Πλὴν μόνου τοῦ ἀΐδιος Ι γραφομένου,
Καὶ ἔτι τοῦ ἀΐδηλος, καὶ ὅλως ἃ τῷ Δέλτα
Ἑπόμενόν πως ἔχουσι γράφεται τῷ Ι ὦτα
Καὶ τούτων τὸ ἀοίδιμος ἐστὶν ἐξῃρημένον,
Γραφόμενον ἀεί ποτε διφθόγγῳ τῇ Οι
Καὶ λόγος ἕτερος οὐδεὶς, ἐστὶν ἀλλ' ὅτι δῆθεν
Ἐκ τοῦ ἀοίδω γίνεται τοῦ ῥήματος κείνου.
Πρόσθες ταπὶ τῶν πόλεων τῶν προπαροξυτόνων,
Ὧν λήγει τὰ ἀρσενικὰ εἰς ευς ὡς τὰ τοιαῦτα.
Ἀλεξανδρεὺς, Ἀντιοχεὺς, αἱ πόλεις δὲ εἰς εια,
Ὥσπερ τὸ Ἀλεξάνδρεια, καὶ Ἀντιόχειά γε
Καὶ ἔτι τὰ ἐκ τῶν εἰς ης ἀρσενικῶν, καὶ εια
Ὡς ἀσθενὴς, ἀσθένεια, τῶν προπαροξυτόνων,

Καὶ εὐγενὴς εὐγένεια. Χρὴ μέν τοι σημειῶσαι
Ὡς ταῦτα μὲν οἱ Ἴωνες διὰ τὸ παροξύνειν
Καὶ τῷ Ι γράφουσι λέγοντες ἀσθενία.
Ἔτι πρὸς τούτοις γράφεται Διφθόγγῳ τῇ Ει
Καὶ τὰ εἰς ια ὅσαπερ εἰσὶ τῶν παρωνύμων,
Οἷον τὸ Πηνελόπεια, ἀπὸ τοῦ Πηνελόπη
Ὡς καὶ τὸ ἠριγένεια, ταυτοσχηματιστόν πως
Ἐκ τοῦ Ἠριγενής ἐστιν, οἷς ἀναλόγως ἔχει
Καὶ ἀπὸ τοῦ ἱπποδασὴς τὸ ἱπποδάσειά γε
Τὸ δ' ἅρπυια, καὶ Αἴθυια κατὰ ταὐτὸ μὴ ὄντα,
Προσγεγραμμένῳ Υ ψιλῷ γράφεται ὑπὸ πάντων
Καὶ τὰ εἰς εια θηλυκὰ ἐκ τῶν εἰς ης ὡσαύτως,
Ἀρσενικῶν, οἷον αὐτὸ ὑπάρχει τὸ ὀξεῖα.
Γινόμενον ἐκ τοῦ ὀξὺς γράφεται τῇ Ει
Ὡς δὲ βραχυκατάληκτον ζητεῖ περισπωμένην.

Ἔτι Ει γράφεται καὶ τὰ ἐκ τῶν εἰς ευω
Ῥημάτων ὄντα θηλυκοῦ γένους τε, καὶ εἰς εια
Ὡς τὸ πρεσβεία γίνεται πάντως ἐκ τοῦ πρεσβεύω
Καὶ βασιλεία γίνεται ἀπὸ τοῦ βασιλεύω.
Πλὴν τῶν ἐχόντων ὄνομα ὀξύτονον, καὶ λῆγον.
Εἰς μον, ὡς Ἡγεμών ἐστιν ἐκ τοῦ Ἡγεμονεύω.
Καὶ ἔτι τούτων τῶν ἑπτὰ τῶν ὑπογεγραμμένων
Φιλανθρωπίᾳ τῷ αὐτῷ, καὶ σὺν τῇ ἐμπορίᾳ,
Καὶ συμβουλίᾳ μάλιστα, καὶ ἔτι Παρθενίᾳ,
Καὶ σωτηρίᾳ, ταῦτα γὰρ γράφεται τῷ Ἰῶτα.
Τούτοις προσέτι γίνεται τινὰ ἐκ τῶν εἰς εια
Ἐξ ἐνεστώτων, ὥσπερεὶ ἀπώλεια ἀπόλω
Καὶ ἔτι μήδω μήδεια, καὶ θέρω θέρειά τε
Καὶ πρός γε τούτοις σάφεια, ἐκ τοῦ σαφῶ ὁμοίως.

Καὶ ταῦτα διφθογγούμενα διφθόγγῳ τῇ Ει
Ὥσπερ τὸ δηΐχειρα, πίειρα, σώτηρά τε.
Καὶ τὰ εἰς ρος ῥηματικὰ τῶν προπαροξυτόνων
Ὡς ἐκ τοῦ πέπτω πέπειρος γράφεται τῇ Ει
Καὶ ἐκ τοῦ Αἴθω Αἴθειρος, μάγειρος δ' ἐκ τοῦ μάττω.
Καὶ τὰ εἰς εια μάλιστα ἐκ τῶν εἰς ευς ὡσαύτως,
Ὡς βασιλεία βασιλεὺς γράφεται τῇ Ει
Καὶ ἱερεία ἱερεὺς, καὶ ὅσ' ἄλλα τοιαῦτα
Πρὸς δ' ἔτι ἔξεστιν εἰπεῖν κἀν τούτοις ὡς καθόλου
Ὅτι τὰ παροξύτονα τῶν θηλυκῶν εἰς ια
Πάντα Ἰῶτα γράφεται πλὴν τῶν ἐκ τῶν εἰς ευς
Τὰ δέ γε παροξύτονα διφθόγγῳ τῇ Ει.

## Ὅσα τῇ Οι

Μαθεῖν δὲ εἴγ' ἐπερωτᾷς, καὶ ὅσα τῇ Οι
Τῶν μέσων ὀρθογράφεται εἰκότως τῇ διφθόγγῳ
Τῶν δέ μοι ἄκουε καλῶς τῶν ἀρχομένων ὧδε.
Τὰ ἀπὸ τῶν εἰς ους ἀεὶ διφθόγγῳ τῇ Οι.
Γράφεται. Οἷον ἐκ τοῦ νοῦς τὸ εὔνοια ὑπάρχει.
Καὶ εὔχροια ἀπὸ τοῦ χροῦς, εὔροια ἐκ τοῦ ῥοῦς τε.
Καὶ ἐκ τοῦ πλοῦς τὸ εὔπλοια. καὶ ταῦτα μὲν γὰρ οὕτως.
Ἔτι δὲ τὰ ἐκ τῶν εἰς ος παράγωγα εἰς οιος
Οἷον τὰ περισπώμενα, ὡς ἄλλος καὶ ἀλλοῖος.
Παντὸς παντοῖος ἔτι πρὸς, γέλως τε, καὶ γελοῖοι.
Ὁμὸς ὁμοῖος, ἕτερος, κἀκ τούτου ἑτεροῖος.
Πλὴν τῶν ἐκ συναιρέσεως ἐχόντων τὸ Ι
Ὡς δῖος, χῖος, τῖος τε, κῖος καὶ τὰ τοιαῦτα.
Καὶ ἔτι πλὴν τῶν κτητικῶν, ἢ καὶ ὡς κτητικῶν τε,
Οἷον οἰκεῖος, θεῖος τε, πρὸς τούτοις καὶ ἀνδρεῖος.
Τῶν γραφομένων γάρ εἰσι διφθόγγῳ τῇ Ει

Καὶ

Καὶ ἔτι τὰ παράγωγα, εἰς ιτης τῇ Οι
Ἐκ τῶν εἰς ος γινόμενα γραφόμενα εὑρήσεις.
Οἷον ὁδὸς ὁδοίτης τε, καὶ ὄρος, καὶ ὀροίτης.
Οἷά τε καὶ προείρηται ἡμῖν τοῖς ἀνώτερω.
Παραπλησίως δ' ἔχουσι τούτοις καὶ τὰ τοιαῦτα.
Δεσπότης οἷον δέσποινα, πόνος ποινὴ, καὶ φόνος.
Ἐξ οὗ τὸ δαφοινός ἐστι γραφόμενον Οι.

## Ὅσα τῷ Ο μικρῷ.

Εἰς οςον ὅσα λήγουσιν ἀεὶ μικρογραφεῖται
Οἷον ἐστι τὸ πολλοστὸν, ἑκατοστὸν, καὶ τἄλλα.
Καὶ τὰ εἰς οχος ἔτι πρὸς, καὶ οκος ἔτι μᾶλλον.
Ὡς τὸ Ἀντίοχος ἐστι, καὶ σιτοδόχος ἔτι.
Καὶ Ξενοδόχος, μάλιστα, καὶ Δωροδόκος ἔτι
Καὶ ἔτι τὰ ἐκ τῶν εἰς ος εἰς οτης ὥσπερ ἔχει
Φίλος Φιλότης, ἔτι τε ὅσιος, ὁσιότης.
Καὶ τὰ εἰς οπος μάλιστα τῶν ἐσχηματισμένων
Ὀξύτονα, ὡς μαστροπὸς, ἄνευ τῶν συγκειμένων
Ἀπὸ τοῦ ωψ ὡς χαρωπὸν, ὡς ὑπεξῃρημένων.
Ἔτι τε τὰ ἐκ τῶν εἰς ος, καὶ ον ἔτι πρὸς τούτοις
Ὡς ἔχει τὸ Δημόκριτος, ὅπερ ἀπὸ τοῦ δῆμος,
Καὶ ἔτι Δωροδόκος τε, ὅπερ ἀπὸ τοῦ δῶρον.
Προσέτι τὰ συγκείμενα ἐκ τῶν εἰς ω ῥημάτων
Οἷον φιλῶ φιλόθεος, μισῶ μισόλαός τε.
Τὰ δὲ εἰς οος εἰ εἰσὶ καὶ κλητικὰ Ω μέγα
Οἷον Ἥρῳος γράφεται, πατρῷος, καὶ μητρῷος.
Εἰ δέ γε μὴ καὶ ταῦτ' ἀεὶ τούτῳ, οἷον γελῷος.
Ἀλλά γε λάβοις μοι καὶ νῦν ὡς πέρας τὸ τοιοῦτον.
Καθόλου ὡς λεγόμενον τοῖς μικρογραφουμένοις.

Εἰ μεσοσυλλαβῶν τὸ Ο, λέξει ἐν ἁπλῇ τύχοι.
Δυοῖν συμφώνοιν μάλιστα, τούτῳ συνεπομένοιν
Ἑκάστοτε τῷ Ο μικρῷ γράφεσθαι θέλει πάντως.

## Ὅσα τῷ Υ ψιλῷ.

Ἁπλᾶ καὶ παροξύτονα, καὶ λήγοντα εἰς ωρα
Τῶν ὀνομάτων ὅσα περ εὑρήσεις γράφε πάντα.
Τῷ Υ ψιλῷ, ὡς ἔχουσι τὸ λύρα, καὶ τὸ σφύρα,
Πορφύρα τε, σισύρα τε, πλημμύρας πλὴν τοῦ μοῖρα
Τοῦτο γὰρ ὀρθογράφεται διφθόγγῳ τῇ Οι.
Καὶ πλὴν τοῦ πεῖρα. τοῦτο γὰρ αὖ τῇ Ει πάλιν.
Ἔστι δὲ τούτων καὶ τινὰ γραφόμενα τῷ Η
Καὶ ταῦτα ἐξαιρούμενα, ὡς πήρα τε, καὶ χήρα.
Τῷ Ι ἔτι ἔστι που, οἷον τὸ Κίῤῥα πόλις.
Τὰ δὲ προπαροξύτονα, καὶ σύνθετα προσέτι
Οἷον ἐστὶ τὸ γέφυρα, κέρκυρα, καὶ ὅσ' ἄλλα.
Ἅ τινα καὶ προείρηται ἡμῖν τοῖς ἀνωτέρω,
Πλὴν τῶν ἐκ τῶν ἀρσενικῶν εἰς Ηρ καταληγόντων.
Τῷ Υ ψιλῷ γραφέσθω σοι ἅπαντ' ἀναμφιβόλως.
Καὶ ὅσα περ εἰς βος, καὶ ρος, εἰς κος, καὶ λος ὁμοίως.
Ἁπλᾶ, καὶ παροξύτονα καθάπερ τὰ τοιαῦτα
Κόρυμβός τε, καὶ ἄργυρος, κόρυκος, κόνδυλός τε
Τῷ Υ ψιλῷ γραφέσθω σοι ἀμφιβολίας δίχα
Πλὴν μόνων τῶν ῥηματικῶν τῶν πρώην εἰρημένων.
Οἷον ἐστι τὸ μάγειρος, καὶ πέπειρος σὺν ἄλλοις.
Καὶ τῶν ὑποκοριστικῶν, ὅσα εἰς ιος λήγει.
Ἰῶτα παραλήγοντα τῷ Υ ψιλῷ πρὸς τούτοις.
Γράφε μοι, ὡς ζωύφιον, καὶ μειρακύλιόν τε
Εἰδὼς καὶ τὰ εἰς ιδιον, ὡς τούτων ἐξαιρεῖται.
Καὶ γράφεται ὡς εἴπομεν πρότερον ἀνωτέρω.

Γρά-

Γράφεται δὲ τῷ Υ ψιλῷ προσέτι τὰ εἰς υζα
Τῶν θηλυκῶν τε, καὶ ἁπλῶν, ὡς ἔχει τὰ τοιαῦτα
Κόρυζά τε, καὶ κόνυζα, ὄρυζα, καὶ ὅσ' ἄλλα.
Καὶ ἔτι ὅσα λήγουσιν εἰς υλη, ὡς κοτύλη
Τῶν θηλυκῶν μονομερῶν, στρογγύλη, καὶ ἀρβύλη.
Καὶ τὸ ἀργύλη γράφεται τῷ Υ ψιλῷ ὁμοίως.
Καὶ ἔτι ὅσα λήγουσιν εἰς υη, ὡς ἀφύη.
Οἰγνύη, καὶ οἰσκύητε, πρὸς τούτοις καὶ καπύη.

## Ὅσα τῷ Ω μεγάλῳ.

Τῷ δ' ω μεγάλῳ γράφεται τῶν ὀξυτόνων ὅσα
Εἰς ωγος, οἷον ἀγωγὸς, δημαγωγὸς, καὶ ἄλλα.
Τούτῳ προσέτι γράφεται καὶ τὰ εἰς ωδης πάντα
Καὶ ωδες, οἷά που ἐστὶ τὰ ὑπογεγραμμένα.
Εὐώδης τε, εὐῶδες τε, πετρώδης, καὶ πετρῶδες.
Καὶ ἔτι ὅσ' ἀρσενικοῦ γένους εἰς ωνης λήγει
Τῷ ω μεγάλῳ γράφεται, καθάπερ τὸ τελώνης.
Δεῖ δὲ σκοπεῖν εἰ καθαρὸν, εἰμὴ τὸ ο τυγχάνει,
Καὶ καθαρὸν εἰμή ἐστιν ἀεὶ μικρογραφεῖται
Πλὴν τοῦ διώνης. τοῦτο γὰρ μόνον ὑπεξαιρεῖται.
Καὶ τὰ εἰς μα ῥηματικὰ τῶν οὐδετέρων πάντα
Τῷ ω μεγάλῳ γράφεται, ὡς δῶμα, χῶμα, χρῶμα.
Πλὴν τινων τῶν ἐκ τῶν εἰς μι, ὥσπερ τὸ δόμα, πόμα.
Καὶ τὰ εἰς ωνος ἅπαντα τῶν ὀξυτόνων ὄντα.
Τῷ ω μεγάλῳ γράφεται, ὡς τιθωνὸς, καὶ ἄλλα.
Καὶ ὅσα περ τῶν θηλυκῶν, εἰς ωνη, ὡς δωδώνη,
Κύρια, καὶ ὀξύτονα μὴ ὄντα, καὶ κορώνη.
Καὶ τὸ ῥαστώνη, πλὴν αὐτῶν τῶν ὑπογεγραμμένων
Περόνητε, βελόνητε, ἀγχόνη, καὶ σφενδόνη.
Ἀκόνητε, ὀθόνητε, πρὸς τούτοις καὶ εὐφρόνη.

Καὶ ἔτι γράφεται ἀεὶ ω μέγα τὰ εἰς ωρος
Ὀξύτονα, ὡς τιμωρὸς ὑπερδισύλλαβά τε,
Καὶ τὰ εἰς ωρα θηλυκὰ βαρύτονα, ὡς πρώρα.
Χώρα πρὸς τούτοις ὥρα τε, καὶ χώρα, καὶ ὅσ' ἄλλα.
Ἔτι τε τὰ ὀξύτονα εἰς ωλος ὥσπερ ἔχει
Τὸ φειδωλὸς, καὶ Αἰτωλὸς, πλὴν ὀβολὸς, θολός τε.
Καὶ ἔτι ὅσα κατ' ἀρχὴν ἔχουσι τὸ Ι
Καὶ μετὰ τοῦτο ἕπεται ο, μεγαλογραφεῖται.
Πλὴν μόνε τοῦ Ἰόνιον, καὶ τῶν ἀπὸ τοῦ ιος
Συνθέτων, ὡς Ἰόλεως, καὶ τῶν ἀπὸ τοῦ ιον
Ὥσπερ τὸ ἰοχέαιρα, σὺν γε τῷ ἰοβόλη.
Καὶ ὅσα ἐκ τοῦ ὀβολὸς συντίθεται πρὸς τούτοις.
Τῷ ω μεγάλῳ γράφεται, τριώβολον καθάπερ
Καὶ ἐκ τοῦ ὅλω τῷ αὐτῷ ὅσα, ὡς τὸ ἐξώλης.
Προώλης, καὶ ἀπώλεια, τούτοις ὁμοίως ἔχει.
Καὶ τὰ ἐκ τοῦ ὀμῶ, αὐτοῖς τούτοις ἐξομοιοῦται
Πάνθ' ὥσπερ τὸ ἀπώμοτον, ὁρκώμοτον σὺν ἄλλοις,
Καὶ ὅσα ἐκ τοῦ ὄνομα, ἀνώνυμον καθάπερ.
Καὶ ἐκ τοῦ ὄνυξ ὡς αὐτὸ τὸ πολυώνυξ ἔχει.
Καὶ ἐκ τοῦ χρέους ὅσαπερ, ὡς τὸ χρεωφειλέτης.
Τῷ ω μεγάλῳ γράφεται ἀεὶ, πλὴν χρεοκόπος.

Ἔτι τὰ ἐκ τοῦ ὄφελος, ἀνωφελὴς καθάπερ
Βιωφελὴς, ἐπωφελὴς, ὡσαύτως καὶ τὰ ἄλλα.
Καὶ τὰ ἀπὸ τοῦ ὀφθαλμὸς, ἐπώφθαλμον καθάπερ
Τούτοις ὁμοίως ἔχουσι, καὶ ὅσα τῶν συνθέτων.
Ἐκ τοῦ Στοὰ, ἢ ἄλλως πως παράγωγά γε ὄντα.
Ὡς Στωϊκὸν, καὶ πρόσωον, ἐξώστοον σὺν ἄλλοις.
Καὶ τὰ ἐκ τοῦ στόμα τῶν ἁπλῶν, καὶ παραγώγων ὄντα
Τούτοις ὁμοίως ἔχουσι, οἷόν τι τὸ στωμύλος.

Καὶ

Καὶ ἐκ τοῦ γῆρας ὅσαπερ συντίθεται προσέτι
Συμφώνου συλλαβῇ τῇ ρο ἑνὸς ἐπαγομένου
Τῷ ω μεγάλῳ γράφεται, οἷον τὸ γηρωκόμος,
Καὶ τὸ γηρωβοσκός ἐστι, καὶ ὅσ' ἄλλα τοιαῦτα,

Ἐν οἷς δὲ δύο ἕπεται σύμφωνα ταῦτα πάντα
Τῷ Ο μικρῷ γραφέσθω σοι, ὡς ἔχει τὰ τοιαῦτα
Τὸ γηροκτόνος μάλιστα, μετὰ τοῦ γηροτρόφος
Καὶ ἔτι ἐκ τοῦ ὄροφος τὰ συντιθέμενά πως,
Τὴν συλλαβὴν εἰ ἔχουσι τὴν πρὸ τοῦ ο βραχεῖαν
Ὡς ἔχει τὸ διώροφον, τριώροφον, καὶ ἄλλα.
Τῷ ω μεγάλῳ γράφονται πάντα κανόνι τῷ δέ.
Μακρὰν δ' εἰ ταύτην ἔχουσι πάντα μικρογραφεῖται.
Χρυσόροφον, ὑψόροφον, οἷον, πεντόροφόν τε.
Καὶ ὅσα ἐκ τοῦ ὄλεθρος ἔτι συντίθεταί πως
Τὸν προῤῥηθέντα σώζουσι κανόν' ἀσφαλεστάτως.
Ἀνώλεθρος γὰρ γράφεται τῷ ω μεγάλῳ πάντως.
Ὁμοίως καὶ ἐπώλεθρος. μικρογραφεῖται δ' αὖθις.
Τὸ ἀνθρωπόλεθρος αὐτὸ, σὺν τῷ ψυχόλεθρός τε.
Τούτῳ προσεξετάζεται μάλιστα τῷ κανόνι,
Τὰ εἴδους ὑπερθετικοῦ ὄντα τῶν ὀνομάτων,
Καὶ λήγοντα εἰς οτατος ἔτι συγκριτικοῦ τε.
Εἰς οτερος ὡς ἔχει σοι τὰ ὑπογεγραμμένα
Τὸ λογιώτερος αὐτὸ, καὶ λογιώτατός γε.
Διὰ τὸ ἔχειν συλλαβὴν τὴν πρὸ τοῦ ο βραχεῖαν.
Τῷ ω μεγάλῳ γράφεται ἅπαντ' ἀναμφιβόλως.
Τὸ δ' ἐνδοξότερος αὐτὸ, καὶ ἐνδοξότατός γε
Μικρογραφεῖται οἷά που, καὶ μικροσυλλαβεῖται.

Καὶ ὅσα γένους θηλυκοῦ τῶν εἰς οσύνην πάντα
Τῷ δὲ προσεξετάζεται ὁμοίως τῷ κανόνι.

Ἱερω-

Ἱερωσύνη γὰρ ἀεὶ γράφεται τῷ μεγάλῳ
Καὶ σωφροσύνη τῷ μικρῷ, καὶ τὰ τοιαῦθ' ὡσαύτως.
Τούτοις συντάττοιτ' ἂν καλῶς καὶ τὰ ἐκ τοῦ ὀρύττω.
Σύνθετα, ὥσπερ ἔχουσι τὰ ὑπογεγραμμένα
Τὸ τυμβορύκτης μάλιστα, σύν γε τῷ φρεορύκτης,
Καὶ τοιχορύκτης ἅτινα πάντα μικρογραφεῖται.
Τὸ δ' αἴτιον ἡ ἔκτασις τοῦ Υ ψιλοῦ ὑπάρχει
Θέσει μακροῦ τυγχάνοντος τὰ δ' ἄλλα τῷ μεγάλῳ.
Ὡς φρεωρύχος γράφεται, ἔτι καὶ τυμβωρύχος.
Καὶ τοιχωρύχος τοῖς αὐτοῖς ὁμοίως, ὡς μηδόλως.
Τοῦ Υ ψιλοῦ τὴν ἔκτασιν φυλάττοντος ἐν τούτοις.

Καὶ τὰ εἰς ωτος γράφεται πάντα τῷ ω μεγάλ
Οἷον λωτὸς, καὶ μισθωτὸς, καὶ ζηλωτὸς προσέτι.
Πλὴν τῶν ἐκ τῶν εἰς ος ἀεὶ, τῷ ο μικρῷ χαιρόντω
Ὡς νεοττὸς, καὶ μολοττὸς, σύν γε καὶ ἄλλοις πλείσ
Καὶ ἔτι εἰμὴ ῥήματος κλίσις κωλύοι, ὥσπερ
Ἰδεῖν ἐστὶ μάλα καλῶς ἐπὶ τοῦ ἀροτός τε.

# ΤΕΛΟΣ.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ